Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

XLVII. Mors Maximiani & aliorum quorum insidias Deo revelante Constantinus deprehenderat.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

φωνῇ σωφρονεῖν, ἀλλὰ μὴ στασιάζειν τούτοις ἐγκελευόμενος. τούτων δ' οἱ μὲν ἀπηλλάττοντο, καταιδούμενοι τὰς παραινέσεις. τοὺς δ' ἀνιάτως πρὸς σώφρονα λογισμὸν ἔχοντας, τῷ Θεῷ παραδιδοὺς ἠφίει. μηδὲν μηδαμῶς αὐτὸς κατά τινος λυπηρὸν διανοούμενος. ἔνθεν εἰκότως τοὺς ἐπὶ τῆς Ἀφρων χώρας διαστασιάζοντας, εἰς τοσοῦτον συνέβαινεν ἐπιτριβῆς ἐλαύνειν, ὡς ἐτολμηροῖς ἤσιν ἐγχειρεῖν. ὡς ἔοικε, δαίμονος βασκαίνοντος τῇ τῶν παρόντων ἀγαθῶν ἀφθονίᾳ, παρορμῶντός τ' εἰς ἀτόπους πράξεις τοὺς ἄνδρας, ὡς ἂν κινήσειε καὶ αὐτῶν τὸν βασιλέως θυμόν. οὐ μὴν προὐχώρει τῷ φθόνῳ. γέλωτα τιθεμένου τοῦ βασιλέως τὰ πραττόμενα, καὶ τὴν ἐκ τοῦ πονηροῦ κίνησιν συνιέναι φάσκοντος· μὴ γὰρ σωφρονούντων εἶναι ἀνδρῶν τὰ τολμώμενα, ἀλλ' ἢ πάντῃ παρακοπτόντων, ἢ ὑπὸ τοῦ πονηροῦ δαίμονος οἰστρουμένων. οὓς ἐλεεῖσθαι μᾶλλον ἢ κολάζεσθαι χρῆναι. πρὸς τῆς τῶν ἀφραινόντων μανίας, ἢ ὅσον τὸ συμπαθεῖν αὐτοῖς ὑπερβολὴ φιλανθρωπίας.

A cipiens, ut modestiùs agere, nec seditiones excitare vellent. Ex his alii admonitiones ejus reveriti, à pervicacia animi desistebant. Alios qui ad sanam mentem nullo remedio revocari poterant, Deo committens relinquebat: nihil adversus quenquam asperius unquam designans. Hanc ob causam, ut credibile est, qui in Africa seditionem commoverant, eò improbitatis proruperunt, ut abrupta quædam facinora tentarent; dæmone ut videtur ob præsentium bonorum copiam invidia percito, & ad gravia quædam & atrocia facinora homines incitante, quò Imperatoris animum contra ipsos accenderet. Verùm nihil profecit invidia, cùm Imperator ea quæ fiebant, ridenda esse duceret; & maligni dæmonis impulsionem agnoscere se affirmaret. Neque enim sanorum hominum illa esse facinora, sed vel penitus amentium, vel eorum qui nequissimi dæmonis stimulis agitarentur: cujusmodi homines miseratione potius quàm supplicio dignos esse. Non enim tantæ justitiæ est, insurgere ad puniendum furorem hominum amentium, quantum eorundem vicem dolere, extremæ humanitatis est.

## ΚΕΦΑΛΑΙΟΝ Μϛ'.

Νῖκαι κατὰ Βαρβάρων.

ΩΔε μὲν τὸν τῶν ἁπάντων ἔφορον Θεὸν διὰ πάσης βασιλεὺς θεραπεύων πράξεως, ἄτρωτον ἐποιεῖτο τὴν τῶν ἐκκλησιῶν αὐτοῦ πρόνοιαν. Θεὸς δ' αὐτὸν ἀμειβόμενος, πάντα γένη Βαρβάρων τοῖς αὐτοῦ καθυπέταττε ποσὶν, ὡς καὶ πάντη πανταχοῦ τρόπαια κατ' ἐχθρῶν ἐγείρειν· νικητήν τ' αὐτὸν παρὰ τοῖς πᾶσιν ἀνεκήρυττεν. ἐπίφοβόν τε ἐχθροῖς καὶ πολεμίοις καθίστη. οὐκ ὄντα τὴν φύσιν τοιοῦτον, ἡμερώτατον δὲ καὶ πρᾳότατον καὶ φιλανθρωπότατον, εἴ τις πώποτε καὶ ἄλλος.

## Caput XLVI.

*Victoriæ de Barbaris relatæ.*

ET Imperator quidem ad hunc modum in omnibus suis actibus Deo omnium Inspectori cultum exhibens, Ecclesiis ejus inconcussa sollicitudine providebat. Deus verò ei vicem rependens, cunctas ferè Barbaras gentes pedibus illius subjecit; adeò ut tropæa ubique de hostibus erigeret. Illum victorem apud omnes mortales illustri præconio renuntiavit; illum formidabilem inimicis & hostibus reddidit, quamvis suapte natura minimè talis, sed potius mansuetissimus, lenissimus atq; humanissimus esset omnium mortalium.

## ΚΕΦΑΛΑΙΟΝ ΜΖ'.

Μαξιμίνου θελήσαντος ἐπιβουλεῦσαι θάνατος, καὶ ἄλλων οὓς ἐξ ἀποκαλύψεως Κωνσταντῖνος εὗρεν.

ΕΝ τούτοις δ' ὄντι αὐτῷ, μηχανὴν θανάτου συρράπτων ἁλοὺς τῶν τὴν ἀρχὴν ἀποθεμένων ὁ δεύτερος, αἰσχίστῳ καταστρέφει θανάτῳ. πρῶτος δὲ τούτου τὰς ἐπὶ τιμῇ γραφὰς ἀνδριάντας τε καὶ ὅσα ἄλλα τοιαῦτα ἐπ' ἀνα-

## Caput XLVII.

*Mors Maximiani & aliorum quorum insidias Deo revelante Constantinus deprehenderat.*

HÆc dum ab eo geruntur, alter eorum qui se Imperio abdicaverant, cùm insidias in ejus necē compararet, deprehensus turpissimo mortis genere interiit. Primusq; hic est cuj⁹ utpote impii ac sceleratí hominis imagines omnes

& statuæ, ceteraq; id genus monumenta quæ honoris causâ erigi solent, ubique terrarum dejecta sunt. Post hunc alii quoque propinquitate generis conjuncti, cùm occultè ei insidiarentur, deprehensi sunt; Deo scilicet cuncta illorum consilia mirabili quodam modo per visiones famulo suo detegente. Nam & præsentiam suam ei sæpius exhibere dignatus est; divina scilicet specie per summum miraculum ei apparente, ac futurarum rerum præscientiam ipsi suggerente. Et inexplicabilia quidem illa divinæ gratiæ miracula, quę Deus ipse famulo suo præstare dignatus est, ne comprehendi quidem dicendo facilè possunt. Quibus ille munitus, reliquum tempus ætatis tutissimè traduxit; tum ex subditorum benevolentia maximam capiens voluptatem; tum ex eo quòd cunctos Imperio suo subjectos in summa tranquillitate ac lætitia degere videbat: tum præcipuè ob splendorem Ecclesiarum Dei incredibili gaudio gestiens.

A θέσει τιμῆς νενόμιστο, πανταχοῦ γῆς, (ὡς ἀνο-
σίου τε καὶ δυσσεβοῦς καθῄρουν. εἶτα δὲ καὶ μετ' αὐ-
τὸν τῶν πρὸς γένους ἕτεροι, κρυφίως αὐτῷ πα-
ῥάπτοντες ἐπιβουλὰς ἡλίσκοντο. παραδόξως τοῦ
Θεοῦ τὰς τούτων ἁπάντων βουλὰς τῷ αὐτοῦ θε-
ράποντι διὰ φασμάτων ἐκκαλύπτοντος. καὶ γὰρ
δὴ καὶ θεοφανείας αὐτὸν πολλάκις ἠξίου. παρα-
δοξότατα θείας ὄψεως ἐπιφαινομένης αὐτῷ,
παντοίας τε παρεχούσης πραγμάτων ἐσο-
μελλόντων προγνώσεις. τὰ μὲν οὖν ἐκ Θε-
χάριτος ἀδιήγητα θαύματα, οὐδ' ἔστι λό-
παραλαβεῖν δυνατόν, ὅσα περ ὁ Θεὸς αὐτὸς τῷ
B αὐτοῦ θεράποντι παρέχειν ἠξίου· οἷς δὴ πε-
φραγμένος, ἐν ἀσφαλεῖ λοιπὸν τὴν ζω-
διῆγε. χαίρων μὲν ἐπὶ τῇ τῶν ἀρχομένων εὐ-
νοίᾳ. χαίρων δὲ καὶ ἐφ' οἷς τοὺς ὑπ' αὐτὸν πάν-
τας εὔθυμον διατελοῦντας βίον ἑώρα. ὑπερ-
βαλλόντως δ' ἐνευφραινόμενος τῇ τῶν ἐκκλη-
σιῶν τοῦ Θεοῦ φαιδρότητι.

## Caput XLVIII.

*Constantini decennalia.*

DUm in hoc statu esset, decimus Imperii ejus annus evolutus est. Cujus rei causâ festis diebus per universum orbem Romanum celebratis, preces cum gratiarum actione tanquam puras victimas, ignis & nidoris expertes, Deo omnium Regi obtulit. Et ex his quidem maximam animo capiebat voluptatem: sed non perinde eum oblectabant nuntii illi, qui de provinciarum Orientis vastatione afferebantur.

## ΚΕΦΑΛΑΙΟΝ ΜΗ.

Δεκαετηρίδος Κωνσταντίνου πανήγυρις.

C ΟΥτω δ' ἔχοντι, δεκαέτης αὐτῷ τῆς βα-
σιλείας ἠνύετο χρόνος· ἐφ' ᾧ δὴ παν-
δήμους ἐκτελῶν ἑορτάς, τῷ πάντων βασιλεῖ
Θεῷ εὐχαρίστους εὐχάς, ὥσπερ τινὰς ἀπύρους
καὶ ἀκάπνους θυσίας ἀνεπέμπετο. ἀλλ' ἐπὶ μὲν
τούτοις χαίρων διετέλει. οὐ μὴν καὶ ἐφ' οἷς ἀκοῇ
περὶ τῶν κατὰ τὴν ἑῴαν τυγχανομένων ἐθνῶν
ἐπυνθάνετο.

## Caput XLIX.

*Quomodo Licinius Orientem afflixerit.*

ETenim immanis quædam bellua tum Ecclesiæ Dei, tum reliquis Provincialibus illic insidiari nuntiabatur: cùm nequissimus dæmon quasi æmulatione succensus, iis quæ ab Imperatore Dei amantissimo gerebantur, contraria facere studeret. Adeò ut Imperium Romanum duas in partes divisum, nocti ac diei simile esse omnibus videretur. Quippe Orientis quidem incolas caligo noctis premebat: eos verò qui Occidentis partes habitabant, serenissimus illustrabat dies. Qui cùm infinitis bonis à Deo sibi conciliatis fruerentur, non tulit id

## ΚΕΦΑΛΑΙΟΝ ΜΘ.

Ὅπως τὴν ἀνατολὴν ἐκακούχει Λικίνιος.

D ΔΕινὸς γάρ τις αὐτῷ κἀνταῦθα, τῇ τ' ἐκ-
κλησίᾳ τοῦ Θεοῦ, τοῖς τε λοιποῖς ἐπαρ-
χιώταις ἐφεδρεύειν ἀπηγγέλλετο θήρ. τοῦ
πονηροῦ δαίμονος ὥσπερ ἁμιλλωμένου, τὰ
παρὰ τῷ θεοφιλεῖ πραττομένοις ταῦτα
κατεργάζεσθαι· ὡς δοκεῖν τοῖς σύμπασι τὴν
ὑπὸ Ῥωμαίοις ἀρχὴν δυσὶ τμήμασι δια-
ληφθεῖσαν, ἐοικέναι νυκτὶ καὶ ἡμέρᾳ. σκό-
τους μὲν τοῖς τὴν ἑῴαν λαχοῦσιν ἐπιπολάζον-
τος. ἡμέρας δὲ τηλαυγεστάτης τοῖς τῆς θατέ-
ρας μοίρας οἰκήτορσι καταλαμπούσης. οἱ δὲ
μυρίων ἀγαθῶν ἐκ Θεοῦ πρυτανευομένων